eul_wid: apu-ad

*Σαπφώ ἡ Λεσβία* · Sappho of Lesbos

# Epigrams

## *Ἐπιγράμματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Αἰολική* Aeolic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 269.1.1 Παῖδες, ἄφωνος ἐοῖσα τότ’ ἐννέπω, αἴ τις ἔρηται,
book 269.1.2 φωνὰν ἀκαμάταν κατθεμένα πρὸ ποδῶν·
book 269.1.3 „Αἰθοπίᾳ με κόρᾳ Λατοῦς ἀνέθηκεν Ἀρίστα
book 269.1.4 Ἑρμοκλειδαία τῶ Σαϋναϊάδα,
book 269.5.1 σὰ πρόπολος, δέσποινα γυναικῶν· ᾇ σὺ χαρεῖσα
book 269.5.2 πρόφρων ἁμετέραν εὐκλέισον γενεάν.“
book 489.1.1 Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν
book 489.1.2 δέξατο Φερσεφόνας κυάνεος θάλαμος,
book 489.1.3 ἇς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ
book 489.1.4 ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.
book 505.1 Τῷ γριπεῖ Πελάγωνι πατὴρ ἐπέθηκε Μενίσκος
book 505 κύρτον καὶ κώπαν, μνᾶμα κακοζοΐας.